τά· εἰδὼς δὲ ϗ τὰς μικρὰς ϗ χαμαιζήλȣς ψιχὰς τιμῆς ἐρᾷν, ἐπὶ ταῖς ἄλλαις ἀμοιβαῖς, ξυγχωρεῖ καλεῖσθαι τὰ καινὰ τῶν ἀνθέων, τοῖς ὀνόμασι τῶν περιττῷ πόνῳ ϗ ἀγχινοίᾳ ἀνευρηκότων αὐτά.

Εἰς τȣ̃το δὲ τὸ μέρος τῆς διηγήσεως ἀφιγμένοις ἀνακαλυπτέον τὴν σφαλερὰν ὑπόληψιν τῶν ὑποτοπαζόντων τὸ Ὀθωμανικὸν γένος παντάπασιν ἀλλότριον εἶναι γλαφυρότητος, ϗ εὐγενείας; ἀλλ' ἴσως εἴγ' εὐπορήσαιεν πολυτελῶν βίβλων νεωτέρων ἀνδρῶν, τῷόντι ἐλλογιμωτάτων, εἰ ἐπιτεύξαιντο τῶν χειραγωγησόντων εἰς αὐτὰ τὰ ἐνδόμυχα τῆς φύσεως, ϗ εἰς τὰ ἄδυτα τῆς μὴ φενακιζȣ́σης, μυρίοις δ' ἀγαθοῖς πλȣτιζȣ́σης τὸν βίον χημείας, ἀπλέτῳ φιλομαθείᾳ ϗ φιλοπονίᾳ, ἀθροτάταις τε συντάξεσι μαθητὰς αὐτȣ̀ς ἐκάθισεν ἄν, διψώσῃ ψυχῇ ἀρυόμενοι τὰ ἀπὸ τῆς βεβαίου φιλοπονίας νάματα. Ἀλλ' ἡ τῶν νεωτέρων βιβλίων στέρησις, ϗ ἡ τῆς ἀσφαλεστέρας ϗ ἀπὸ τῶν αἰσθήσεων ἰθυνομένοις φιλοσοφίας ἄγνοια, ἐν αἰτίᾳ ἐστὶν, ὥστε τὸ ἐνδό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005

σιμον τῆς Φύσεως τὸ ἀποπνέον Ἑλληνικὴν εὐφυΐαν ἐν τῷ ματαίῳ καὶ πολυχρονίῳ πόνῳ τῷ περὶ τὴν λογικὴν τοῦ Ἀριστοτέλους πραγματείαν, καὶ ἐν τοῖς περὶ τὴν χημείαν Φεναχισμοῖς τῶν ἀπατεώνων καὶ ἀγυρτῶν Ἀράβων, ἧς ἐπίλογός ἐστιν ἡ τῶν βασιλικῶν νομισμάτων κιβδηλία, καὶ ἡ παρὰ τῶν δικαστῶν μέλαινα ψῆφος, περί τε τὸν ὑπὸ Πλατωνικῇ μυσταγωγίᾳ λανθάνοντα, πολλάκις δὲ Φανερῶς ἐμπομπεύοντα Ἐπικούρειον βίον εἱλκυσμένον καταναλίσκεσθαι.

Ἀλλὰ πάλιν ἡμᾶς εἰς ἑαυτὸν ἐφέλκεται ὁ ἀνθηρότατος κῆπος, ἐν ᾧ ἵνα μηδ᾽ ὁτιοῦν ψυχαγωγίας εἶδος ἀπῇ, εὕρομεν ἐν αἱμασιᾷ κεχωρισμένῳ περιβόλῳ πλῆθος δένδρων, μήλοις, κιτρίοις, καὶ χρυσοῖς, καὶ πολλοῖς ἄλλοις μείζοσί τε καὶ ἐλάττοσι τοῖς ἀπὸ Ῥόδου καὶ Χίου, τοῖς χρώμασι καὶ εὐοσμίᾳ δαιμονίως τὴν αἴσθησιν κηλοῦσι καλλυνόμενον. Πλησίον δ᾽ αὐτῶν ἄλσος ῥόδων τῶν καλύκων ἐκπηδώντων ὑπεστόρεστο, ὧν καίπερ ἦρος ἱσταμένου Φυομένων, τῆς εὐωδίας Φόρον, ὡς ἔπος εἰπεῖν, ὑποτελούντων ταῖς ἀηδόσιν, αἳ ἐμμελεστάταις Φω-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ναῖς, μονονȣχὶ αὐτὸν ἀπαιτȣ̃σιν, ἀλλ' ἡ τῶν ἀνθρώπων πλεονεξία, ὑπὸ νεανικῆς ἁμίλλης ἀνερεθιζομένη, μηχανᾶται ϗ περαιτέρω τὴν ζωὴν τοῖς ῥόδοις, ἀπλέτῳ τε φιλοπονίᾳ ϗ δαψιλείᾳ, ȣ̓ μόνον τὸ θέρος πλȣτίζει τῇ τȣ́των ἀφθονίᾳ, ἀλλὰ ϗ τὸ μετόπωρον κοσμεῖ, ϗ τὸν χειμῶνα καταχαλλύνει ῥόδων παρȣσίᾳ, τήν τε τȣ̃ πυρὸς αἴγλην θυμηδεστέραν παρασκευάζει τῇ λαμπρότητι τῶν ῥόδων, ϗ τῷ ποικιλοχρόῳ μυρίων ἀνθέων.

Ἐπειδὴ δὲ ἡ ψυχὴ ἤδη ἐκλυομένων ϗ μονονȣχὶ κάμνȣσα τῷ ἀθρόῳ παντοδαπῶν ἡδονῶν, τόπον ἠρεμίας ἐζήτει ϗ ἀνέσεως, ἐν μετρίως ὑψηλῷ χωρίῳ ὁλόκληρον τὸν ὑποκείμενον κῆπον ἐποπτεύοντι, οἰκίσκος γλαφυρῶς ᾠκοδόμητο, ἑκατέρωθεν λαμπροτάτοις ὑαλίνοις φωταγωγοῖς κωλύων τὰς τῶν ἀνέμων ὁρμὰς, ϗ τὰς ἐπιβολὰς τῶν ὄμβρων· ἐστεφάνωτο δὲ ϗ ἀναδενδράσιν ἀμπέλου, ϗ ἑτέρων εὐωδεστάτων ἀνθέων, ἔχων ἐν μέσῳ δεξαμενὴν ὕδατος διαυγȣ̃ς, ϗ ἔξωθεν ἑτέραν μείζονα, τῇ τε ὄψει, ϗ τῷ κελαρύζοντι τȣ̃ διὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

πολλῶν ὀχετῶν καταῤῥέοντος ὕδατος, ϗ διὰ πολλῶν στομίων ἑλικοειδῶς ἐκπηδῶντος, δαιμονίως ἡδυνούσας ὄμματα ϗ ἀκοὰς, ϗ ἐριζούσας ταῖς μουσικῆς ᾠδαῖς τῶν περιϊπταμένων τὰ δένδρα πολυειδῶν ὀρνίθων.

Οὐκοῦν ἑστιάσαντες τὰς αἰσθήσεις, ϗ ἤδη ἡλίου περὶ μεσημβρίαν ὄντος, κατακλιθέντες μετὰ τοῦ ξεναγοῦντος ἐν οὕτω περικαλλεῖ οἰκίσκῳ, ἐπαινοῦντες διατελοῦμεν τὸν κῆπον, τήν τε δαψίλειαν τῆς φύσεως θαυμάζοντες, ἅτε ἐν μέσῳ πόλεως, ἐν στενῷ χωρίῳ λαμπρῶς ἀνακαλυπτούσης, ϗ ἀθρόον ἐκχεούσης τοὺς ποικίλους αὐτῆς θησαυρούς. ἤγομεν δ' ὡς εἰκὸς δι' εὐφημίας, ϗ τὴν τοῦ δεσπότου τοῦ κήπου φιλοπονίαν, ὃς ὑποκλέπτων ἑαυτὸν ταῖς περὶ τὴν αὐλὴν ἀσχολίαις, λιπαρῶς ἐθεράπευε τὴν κοινὴν ἡμῶν μητέρα· ἐπιῤῥίπτοντες δ' ἐνίοτε τῶν ὀμμάτων τὰς βολὰς, ϗ εἰς τὴν ὑποκαθημένην πόλιν, ϗ προβαίνοντες μέχρι τῆς περιῤῥεούσης αὐτὴν θαλάσσης τῆς πλοίων μικρῶν τε ϗ μεγάλων μεστῆς, πανταχόθεν ἡδονῆς ἐνεφορούμεθα. Βουλόμενος δ' ὁ τοῦ κήπου δεσπό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

της ἡδῦναι ἢ τὴν ἡμετέραν γεῦσιν, παρατίθησιν ἡμῖν τράπεζαν, ᾗ ὀλίγα μὲν, ἀλλὰ καλῶς λίαν διεσκευασμένα παρέκειτο βρώματα, τῇ ἁπλότητι ἢ λιτότητι ἡδύνοντα ἢ τρέφοντα, ἀλλ' οὐχὶ χαρυκείαις ἢ μαγειρικαῖς μαγγανείαις φθείροντα τὴν γεῦσιν ἢ τὸν στόμαχον, ὥστε τοὺς Περσικῶς ἐσταλμένους ξένους ἀγασθέντας αὐτὸν τῆς φιλοφροσύνης, ἢ δεξιώσεως εἰπεῖν ἐν ἐπαίνου λόγῳ, εἴθε ἐν ἑκάστῳ τῶν εὐνομουμένων τῆς οἰκουμένης χωρίων διὰ τιμῆς εἴη ὁποιόσδε τοῦ φιλοφρονεῖσθαι τρόπος, πολλαχοῦ δ' ἀρωμάτων πλήθει ἢ ποικιλίᾳ τῆς ἄλλης μαγγανείας φθείρουσι τῶν βρωμάτων τὴν ποιότητα· εἴθε δὲ μιμηταὶ γένοιντο ἢ ἄλλοι ὅσα γ' ἐς φιλοξενίαν τείνει τῶν τὴν Ἀσίαν οἰκούντων ἀνθρώπων· ἔνθα ἐν ὁποιωοῦν πολιχνίῳ ἢ κώμῃ ἔστιν ἰδεῖν, λαμπρὰς εἰκόνας παλαιᾶς φιλοξενίας, συχνοί τε τῶν ἐνοικούντων τὰς ἀπὸ γεωργίας προσόδους, τάς γε πλείους δαπανᾷν εἰώθασιν εἰς ὑποδοχὴν ἐπιδημούντων ξένων· ἔργον γὰρ αὐτοῖς λιτὰς μὲν, ἀλλὰ πλουσίας ἑτοιμάζειν τραπέζας,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ/νσης Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

προκαλεῖσθαί τε τοὺς ὁδίτας, καὶ ὀσημέραι ἑστι-
ᾶν μάλα φιλοφρόνως, οὐδέ εἰσιν ἐκεῖ πικροὶ
πανδοχεῖς, οἳ ἕωλα καὶ ὀδωδότα ὄψα παρα-
τιθέμενοι τοῖς δίψῃ καὶ λιμῷ πιεζομένοις, ψυ-
χρᾶς καὶ ῥυπαρᾶς ὑποδοχῆς, ὑπερόγκους εἰσπράτ-
τονται τόκους. Ἡ δὲ τοῦ ἑστιάτορος φιλοφροσύνη
τιμᾷ τὴν τράπεζαν, καὶ τῇ Βάκχου παρουσίᾳ·
τρεῖς γὰρ εὐμεγέθεις φυάλας κρυστάλλου πα-
ρέθετο πλήρεις ἐξαισίου, λευκοῦ, παλαιοῦ, διαυ-
γοῦς, καὶ ὀλιγοφόρου οἴνου, οὗ τό,τε ὄνομα διὰ
χειλέων προφερόμενον τὴν ἀκοὴν ἐγλύκαινεν,
ἀπόμοιράν τε λαμβανούσης ἑκάστης τῶν αἰσθή-
σεων τῆς προχεομένης ἡδονῆς. οἱ μὲν ὀφθαλμοὶ
βλέποντες τὸ λαμπρὸν καὶ διαυγὲς τοῦ οἴνου, πά-
νυ τακερῶς καὶ ὑγρῶς κατεθέλγοντο, ἡ δ' ὄ-
σφρησις τῶν ἀποπνεομένων ἀπ' αὐτοῦ ἀτμίδων
ἀντιποιουμένη δαιμονίως ἐκηλεῖτο, ἡ δὲ ἁφὴ καὶ
γεῦσις ἠρέμα καταῤῥέοντος καὶ εἰς τὸν λάρυγ-
γα ἱλαρῶς ὀλισθαίνοντος, κομιδῇ διεχεῖτο·
τοῖς δὲ συνεστιωμένοις ἡμῖν ξένοις ἡδύτερος ἔδο-
ξεν ὁ οἶνος, ἅτε οἰομένοις ἐν Κωνσταντινουπόλει
πάνυ δυσχερῶς πορίζεσθαι. καὶ δὴ θαυμάζουσιν

Ε.Υ.Δ της Κ.Ι. ΙΩΑΝΝΙΝΑ 2005

ἐοικότες, πυνθάνονται παρὰ τȣ͂ Ἰακώβȣ, (τȣ͂το γὰρ ἦν ὄνομα τῷ ἑςιάτορι) τῷ τρόπῳ οἶνον ȣ̔́τω καλὸν εὑρίσκειν ἔχει; ἐν μὲν γὰρ τῇ Περσῶν γῇ ȣ̓δαμῶς ἀπείρηται ἡ τȣ͂ οἴνȣ χρῆσις, ἐπειδὴ ϗ οἱ τῆς Μωάμεθ θρησκείας μέχρι βασιλέως οἴνȣ φανερῶς ἀναπίμπλανται, ϗ μεθύσκονται. ὁ δ' ὑπολαβὼν, ὁ καιρὸς μεταβάλλει τὰ πράγματα, ὁτὲ μὲν εἰς τὸ κρεῖττον, ὁτὲ δὲ εἰς τὸ χεῖρον. ϗ τὰ μὲν ἔθη, φησὶ, ϗ οἱ νόμοι ςενοχωρȣ͂σι τὴν φύσιν, ἡ δὲ, ȣ̓δέποτε κάμνει, ἀλλὰ σχολαίῳ ποδὶ βαίνȣσα, ἀνεπαισθήτως κατατρίβει τὰς συσφιγγȣ́σας ἀλύσεις, τῇ τε τȣ͂ χρόνȣ προόδȣ διάδυσιν, λεληθότως ἑαυτῇ μηχανησαμένη εἰς τὴν πρὶν ἐλευθερίαν ἀνατρέχει. Οὐκȣ͂ν ταύτῃ πως ϗ τὸ Ὀθωμανῶν γένος πρὸ ὀλίγων ἐτῶν ἤρξατο τῆς ἀρχαίας ἀκριβείας ϗ αὐχμηρότητος ἀφίςασθαι, τῇ τε ἐπιμιξίᾳ τῶν Εὐρωπαίων, εἰς ἀνθηρότερον, ϗ τῇ φύσει καταλληλότερον βίον ȣ̓ διαλείπει ὁσημέραι καλλωπιζόμενον. ἔνιοι δὴ οἵγε γλαφυρότεροι τῶν Ὀθωμανῶν ἀναλογισάμενοι τὴν ἀπηγορευμένην τȣ͂ οἴνȣ πόσιν ἐν αἰτίᾳ γεγονέναι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

ταῖς ἀτοπωτάτοις αὐτῦ χρήσεως, τὴν δὲ ϰ̀ ἐν τῷ φανερῷ ϰ̀ ἐν παραβύςῳ ἀποχὴν μαραίνειν τῦ σώματος τὴν ἀκμὴν, σβεννύειν τὰ πνεύματα, ὥςε τὺς μὴ ῥωννυμένυς τῇ, οἷον εἰπεῖν, ζωογονιτικῇ τῦ οἴνου ἰκμάδι εἰς γόνυ κάμψαντας, τὴν μὲν νεότητα μετὰ σκυθρωπότητος παραπέμπειν, κατὰ δὲ τὴν ἀνδρικὴν ἡλικίαν παντοίας φαιδρότητος, ἀμοιρῦντας παντάπασι δυσκόλυς γίγνεσθαι, ἐν δὲ γήρᾳ ἐκλελυμένυς, ϰ̀ ὅλως ἀτόνυς ἀπαλάττειν πρὸ καιρῦ εἰς ᾅδην χορῦντας· ςερεᾶς τροφῆς ϰ̀ ὕδατος ὐδὲν ἔλαττον ἀναγκαίαν κατανενοηκότες εἶναι τὴν μετρίαν τῦ οἴνου μετάληψιν, συχνοὶ τῶν εὖ γεγονότων (ἵνα τὸν ἄλλον ὄχλον παραλείψω τὸν ἀφρόνως τῇ μέθῃ καταβαπτιζόμενον) κακωλυμένης ὔσης τῆς τῦ οἴνου χρήσεως, τὴν ἐν τοῖς ἐσωτέρω ταμείοις αἱρῦνται δίαιταν, ὅπως ἔχωσιν ἀδεῶς μεταλαμβάνειν τῦ θυμηδεςάτυ πόματος.

Πρὸ ὀλίγυ δ' ἀνεκοινώσατό μοι ἐμὸς ἑταῖρος περιώνυμόν τινα ἐπὶ παιδείᾳ Ὀθωμανὸν, πολλοῖς τῶν ἐν τέλει χαριζόμενον, πολλὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ... ΙΩΑΝΝΙΝΑ 20..

ἀνελίττειν ἤδη βίβλους, πανταχόθεν τε μάλα φιλοπόνως ἰσχυρὰς μαρτυρίας ϗ λόγους συνερανίζεσθαι, οἷς κατασκευάσαι προτεθύμηται οἰκονομικωτέραν ϗ φιλανθρωποτέραν ἑρμηνείαν ἐπιδέχεσθαι, κατά γε τὴν παροῦσαν τοῦ χρόνου φορὰν, τὴν πάλαι γεγονυῖαν, ϗ μέχρι πολλοῦ κρατήσασαν ἀπαγόρευσιν ἐπὶ τῇ τοῦ οἴνου πόσει· ὁ δ' ἀναγνοὺς τὸ σχεδίασμα ἀφηγεῖτο πρὸς τοῖς ἄλλοις ἐπιχειρήμασι ϗ τοιούτῳ λόγῳ διατείνεσθαι τὴν ἑαυτοῦ κρατῦναι δόξαν τὸν ξυντιθέντα τὸ βιβλίον, ὅτι δηλαδὴ καθάπερ παῖδες ἰατρῶν τιμῶσι ϗ γεραίρουσι τοὺς τῶν ἀρχαιων ὅρους, μάλιστα δ' ὁπόσα παρατηρήσας γραφῇ παραδέδωκεν ὁ θεσπέσιος ἐκεῖνος Κῷος γηραιὸς, ἑδραῖοι ϗ ἀραρότες εἰσὶ τῆς τέχνης θεμέλιοι, ϗ δι' αὐτῶν οἱονεὶ διά τινος λεωφόρου βαδίζειν προσήκει τοὺς εὐδοκιμῆσαι βουλομένους· τὰ τοιαῦτα μέντοιγε τῶν ἀξιωμάτων ἴσως ἔχει τὶ πλάτος ϗ εὐρύτητα ἔνθεν ϗ ἔνθεν, ἔσωτε τῶν ὁρίων αὐτῶν, ἀδεῶς δύναται περιπατεῖν ἡ φρόνησις, ϗ ἡ διάκρισις μηδαμῶς στενοχωρουμένη, ἥτις ὥσπερ

Ε.Υ.Δ. ΕΠ Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005

ἄλλας ἁπάσας ἀρτύει τὰς ἀρετάς. „ Δοτέον „ γάρ τι ϗ τῷ ἔθει, ϗ τῇ ὥρῃ, ϗ τῇ χώ- „ ρῃ, ϗ τῇ ἡλικίᾳ, πρός τε τὰς τῶν σωμά- „ των κράσεις σταθμίζειν ϗ ἐφαρμόττειν χρε- „ ὼν τὰ φάρμακα, αὐτὸ δὴ τοῦτ' ἰσχύειν ϗ ἐν „ τοῖς νενομισμένοις" · διὸ θείων τε ϗ ἀνθρωπίνων οὐκ ἀποκλείεταί πως τὸ ἐπιεικὲς ϗ φιλάνθρωπον· ὁπόσα γὰρ οὐκ ἐναργῶς διατετράνωται ἐν ἐκείνοις ἡ τῶν ἀφηγητῶν φρόνησις, Λυγκέως ὀξυδερκέστερον καθιεῖσα τὰς ὄψεις μάλα δεξιῶς ἀνορύττει ϗ ἀνιμᾶται τὸν ἐν τῷ βάθει τῆς λέξεως ἐναποκείμενον καὶ λανθάνοντα νοῦν· οὐκοῦν κατά γε τὴν ὑπάρχουσαν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως, τῆς ὁσημέραι ὑποῤῥεούσης ϗ εἰς φθορὰν ὀλισθαινούσης, ἡ ἀνάγκη ἐνίοτε ἀμωσγέπως ἀνίεισι, ϗ ὑποχαλᾷ τὸ ὑποτεταμένον ϗ λίαν αὐστηρὸν τῶν νόμων.

Ταύτῃ πως δὲ τὸν λόγον συνείροντος τοῦ Ἰακώβου ἅτερος τῶν ξένων, ὃς βαθὺν καθειμένος πώγωνα, τῇ τε συνοίᾳ, ϗ ταῖς τῶν ὀμμάτων βολαῖς ἐννοεῖν ἐδίδου τὸ βαθύνειν ϗ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

πολυμαθὲς, ὑπολαβὼν, οὐκ ἀφυής, φησιν, εἶναί μοι δοκεῖ ὁ ξυντιθεὶς τὴν βίβλον, οὐδ' ἄπειρος τῆς τῶν πραγμάτων φύσεως. τὸ γὰρ τὴν ἀκριβεστάτην τῶν ἐθῶν φυλακὴν ἀπαιτοῦντα ἀ[illegible]ώτως αὐτοῖς ἐμμένειν, μηδ' ἐπικλώμενον πρὸς τὴν ἀσθένειαν τῶν ὑπὸ τῶν νόμων βοσκομένων ἀνθρώπων, τῶν ἀδρανὲς σῶμα περιβεβλημένων, ἐνίοτε ἀναγκαίαις οἰκονομίαις ὑποστηρίζειν, καὶ ἀνορθοῦν πεπονηκυῖαν φύσιν, μηδὲν ἄλλο ἂν εἴη, ἢ διαῤῥήδην μηχανᾶσθαι τῆς ταλαιπώρου τὴν κατάπτωσιν.

Τοιούτοις δὴ λόγοις ἀμοιβαίως ἑαυτοὺς κηλήσαντες, ἀρθείσης ἤδη τῆς τραπέζης, ἐξὸν ἦν ἑκάστῳ ὅπως αὐτῷ βουλητὸν εἴη τὸ ἐπίλοιπον τῆς ἡμέρας παραπέμψαι. καὶ οἱ μὲν ἄλλοι ὑπὸ τῆς ἀπὸ τῶν δένδρων, ἀπὸ τῶν ἀνθέων, ἀπὸ τῶν ὀρνίθων, ἀπὸ τῶν ὑδάτων, ἀπὸ τῆς αὔρας πνεούσης, καὶ λάβρως ἐπιῤῥεούσης ἱλαρᾶς ἡδονῆς κηλούμενοι, εἰς ὕπνον ἠρέμα καταφέρονται. ὁ δὲ Κορνήλιος (τοῦτο γὰρ ἦν ὄνομα τῷ λόγων ἁψαμένῳ ξένῳ) ὅ,τε χρηστὸς Ἰάκωβος, καὶ τρίτος ἐγὼ νόμους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ἰατρικῆς τιμῶντες, τὸν ὑπὸ μεσημβρίαν ὕπνον ὑφέρποντ' ἀποσειόμεθα, χολαίῳ δὲ ποδὶ ὑπὸ τὸν πλησίον ἄπιμεν δαφνῶνα, ὑπό τ' ἀμφιλαφεῖ σκιᾷ, κατακλιθέντες ἐπ' αὐτῇ τῇ πόᾳ, ὕλην προσηνῶν λόγων θηρώμεθα. ἀλλ' ὁ Κορνήλιος τὴν περὶ τῶν Ὀθωμανῶν ἀφήγησιν, ἣν καθ' ὁδὸν ἐνεξηστάμην τῇ τοῦ Ἰακώβου διαλυθεῖσαν ξυντυχίᾳ, λιπαρῶς ἐγκείμενος ἀπαιτεῖ, καὶ ὀκνοῦντά με πρὸς τὴν διήγησιν ὀτρύνει.

Οὐκοῦν ἀναλαβὼν ἐγὼ τὸν λόγον, λέληθέ σε ἔφην, ὦ ἑταῖρε, ὅσον δυσχερὲς καὶ ἀπόκρημνον ἀνδρὶ τοῦ πολιτεύεσθαι ἤδη πεπαυμένῳ, κἂν ἐπιπολαίως ἐφάψεται πολιτικῶν πραγμάτων ἀφηγήσεως; τὸ δὲ καὶ τοῦ βάθους κατατολμᾷν οὐ μόνον δυσέφικτον, ἀλλ' οὐδ' ἔξω δέους.

Εἰ δὲ φαίνητε τὴν μεταξὺ φίλων ὁμιλίαν ἔξω τελεῖν κινδύνου, ἀλλ' ἐκεῖνό γε οὐ λέληθε τὴν ἡμετέραν ἀγχίνοιαν, ὡς τῇ μακρᾷ τοῦ χρόνου προόδῳ ἥτε πρὸς τὰ ἔξω, καὶ ἡ πρὸς ἑαυτὰς τῶν βασιλειῶν κατάστασις, πολ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005